Παράκληση εις την Αγία Ξενία την εκ Καλαμών

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ’ (142) Ψαλμόν.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησιν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνη σοῦ καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιον σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν ἐπ’ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχύ εἰσάκουσον μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου μή ἀποστρέψῃς τό πρόσωπον σου ἀπ’ ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί σοί ἤλπισα γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μοῦ ἐξελοῦ μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. Δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἰ ὁ Θεός μοῦ τό πνεῦμα σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματος σου, Κύριε, ζήσεις μέ, ἐν τῇ δικαιοσύνη σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλος σου εἰμι.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος ἀ’. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β’. Πάντα τά ἔθνη ἐκύκλωσαν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ’. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

καὶ τὸ ἑξῆς

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Τὴν Καλλιπάρθενον Χριστοῦ Ἀθληφόρον, καὶ Καλαμῶν τὴν πολιοῦχον Ξενίαν, ᾀσματικῶς τιμήσωμεν βοῶντες αὐτῇ. Λύτρωσαι πρὸς σὲ τοὺς τρέχοντας, πειρασμῶν τε καὶ θλίψεων, λῦσον μαγειῶν κλοιόν, καθ’ ἡμῶν κακοβούλων· παρὰ Θεοῦ γὰρ ἔσχες τὴν ἰσχὺν καὶ πάσης ῥῦσαι ἀνάγκης πρεσβείαις σου.

Δόξα. Ὅμοιον, ἥ τῆς τυχούσης ἑορτῆς.
Τῶν ἰαμάτων τὴν πηγὴν σὲ Ξενία, ἐπικαλοῦμαι ὁ οἰκτρός σου οἰκέτης, μετὰ Θεὸν προσφεύγων νῦν τῇ σκέπῃ τῇ σῇ, καὶ βοῶ· Ἀπάλλαξον, τῶν δεινῶν με προφθάσασα, πονηρῶν πνευμάτων τε, σαῖς λιταῖς ἐκ τῆς βλάβης ἐξ ἀνιάτων λύτρωσαι παθῶν, καὶ νοσημάτων παντοίων καὶ θλίψεων.

Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καί ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί

εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

καὶ ὁ Κανών,
οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις «Γεωργίου».

ὨΙδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.
Ἐν ὕμνοις καὶ ᾄσμασιν οἱ πιστοί, δεῦτε συνελθόντες εὐφημήσωμεν εὐλαβῶς, Ξενίαν Χριστοῦ τὴν Ἀθληφόρον, ὑπὲρ ἡμῶν ἀενάως πρεσβεύουσαν.

Τυράννους ἐξέπληξας τῇ στερῥᾷ, ἔνδοξε ἐνστάσει καὶ κατηύφρανας στρατιάν, Μάρτυς τῶν Ἀγγέλων, μεθ' ὧν ἤδη, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα ἱκέτευε.

Τὴν χάριν ὡς ἔχουσα πρὸς Θεοῦ, πᾶσαν ἀφανίζειν μαγγανείαν τῶν φθονερῶν, ἐκ ταύτης τοὺς πόθῳ σοι δραμόντας καὶ τὰ παιδία φύλαξον, Ξενία Μάρτυς, πρεσβείαις σου.

Θεοτοκίον
Γυμνότητι, Μῆτερ, τῶν ἀρετῶν, χάριτος τῆς θείας ἐστερήθην τοῦ σοῦ Υἱοῦ, αὐτῆς οὖν ἀξίωσον τυχεῖν με, σαῖς μητρικαῖς Παναγία δεήσεσιν.

ὨΙδὴ γ΄. Οὐρανίας ἀψῖδος.
Τῷ Κυρίῳ προσήνεγκας ἑαυτὴν ἄμωμον, θῦμα καὶ θυσίαν, σεμνὴ Ξενία καὶ εἴληφας, παρὰ Θεοῦ τὴν ἰσχύν, καρδιακῶν σώζειν νόσων, Μάρτυς καὶ φυλάττειν τὰ τέκνα τῶν δούλων σου.

Ἐμβληθεῖσα καμίνῳ τῇ τοῦ πυρὸς ἤμβλυνας, πᾶσαν ἐναντίων, σεμνὴ Ξενία, τὴν δύναμιν, συμβασιλεύουσα νῦν, Χριστῷ τῷ μόνῳ Δεσπότῃ, ὅν ὑπὲρ τῶν δούλων σου Μάρτυς ἱλέωσαι.

Τὰ τοῦ κόσμου προεῖδες καὶ πρὸς Χριστὸν ἔδραμες, ὅνπερ ὡς Θεὸν ἐν σταδίῳ Μάρτυς ἐκήρυξας· παρ’ οὗ καὶ χάριν Σεμνή, τοὺς σεληνιαζομένους, εἴληφας τοῦ σώζειν πιστῶς σοι πελάζοντας.

Θεοτοκίον
Ἐν ἀγκάλαις ὅν ἔσχες τὸν τοῦ παντὸς Κύριον, Ἄχραντε παρθένε, ὡς Μήτηρ ὄντως ἱκέτευε, ἵνα κινδύνων ἡμᾶς, καὶ συμφορῶν ἀπαλλάξῃ καὶ πυρὸς γεένης ἐν ὥρᾳ τῆς κρίσεως.

Διάσωσον παντὸς κινδύνου, Ξενία, τοὺς σοὶ δραμόντας, φθονερῶν μαγγανείας, καὶ δεινῶν περιστάσεων, λιταῖς σου καὶ πάσης ἐξ ἀσθενείας.

Πανύμνητε καὶ τοῦ Θεοῦ ἡμῶν Μῆτερ σπλαγχνικωτάτη, ὡς Υἱόν σου Αὐτὸν Ἀγνὴ ἀπαύστως ἱκέτευε, ῥυσθῆναι κινδύνων τοὺς σὲ τιμῶντας.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Τὰ ἄνω ζητῶν.
Στερῤῥὰν βοηθόν, δεινοῖς οἱ συνεχόμενοι, Ξενία σεμνή, κατέχοντές σε τρέχομεν τῇ σῇ σκέπῃ κράζοντες· Μαγγανείας ῥῦσαι τοὺς δούλους σου, καὶ νόσων καὶ πάσης ὀργῆς, ταῖς σαῖς ἱκεσίαις πρὸς Χριστὸν τὸν Θεόν.

ὨΙδὴ δ΄. Εἰσακήκοα Κύριε.
Τῶν τυράννων κατέβαλες, θράσος Καλλιμάρτυς Ξενία πάντιμε, συγχορεύουσα τῷ Πλάστῃ σου, ὅν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ τε, ἔχειν σε προστάτιν θεομακάριστε, εὐλαβῶς καθικετεύομεν, οἱ πιστῶς τῇ σκέπῃ σου προστρέχοντες.

Παῤῥησίαν ὡς ἔχουσα, πρέσβευε ῥυσθῆναι τοὺς προσιόντας σοι, φθονερῶν ἐκ τῆς κακώσεως, καὶ δαιμόνων βλάβης πανσεβάσμιε.

Θεοτοκίον
Ὡς τεκοῦσαν τὸν Κύριον, πίστει σε τιμῶμεν βοῶντες Δέσποινα, πειρασμῶν καὶ τῶν παθῶν ἡμῶν, καὶ δεινῶν τὸν κλύδωνα κατεύνασον.

ὨΙδὴ ε΄. Φώτισον ἡμᾶς.

Στίγμασι σαρκὸς ὑπερέλαμψας πανεύφημε, καὶ χάριν ἔσχες, Μάρτυς, παρὰ Θεοῦ, ἐκ πάσης σώζειν μαγείας τοὺς σοὶ προστρέχοντας.

Πῦρ περιφανῶς θεϊκῆς ἀγάπης φέρουσα, πυρὶ ῥιφθεῖσα πλάνην τῶν ἀσεβῶν, Ξενία, ἔφλεξας σώζουσα τοὺς τιμῶντάς σε.

Λίθοις τοῖς γλυπτοῖς οὐκ ἐπέθυσας ἀλλ' ἤμβλυνας, βουλὰς τυῤῥάνων νόμῳ τῷ τοῦ Χριστοῦ. Καὶ νῦν κινδύνων λυτροῦσαι τοὺς σὲ γεραίροντας.

Θεοτοκίον
Ἠῦσαι προσβολῆς νοητῶν ἐχθρῶν τὸν δοῦλόν σου, καὶ ὁρατῶν Παρθένε, ὅτι πρὸς σέ, μετὰ Θεὸν τὴν ἐλπίδα μου ἀνατίθημι.

ὨΙδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.
Κατέβαλες ἐν σταδίῳ πάνσεμνε, τὴν ὀφρὺν τῶν σῶν τυράννων Ξενία, καὶ πρὸς Θεοῦ, νίκης στέφος ἐδέξω, καὶ τὴν ἰσχὺν φυγαδεύειν τοὺς δαίμονας, καὶ χάριν σώζεις ἐκ φθορᾶς, τὰ παιδία ἡμῶν ταῖς πρεσβείαις σου.

Τὴν μνήμην σου τοὺς τιμῶντας λύτρωσαι, ἐκ τῶν νόσων καὶ παθῶν τῆς καρδίας, ὡς πρὸς Θεόν, κεκτημένη πρεσβείαν, νευρασθενείας φρικτῆς τε διάσωσον, καὶ τέκνα φύλαξον ἡμῶν, ἐκ δεινῶν καὶ κινδύνων καὶ θλίψεων.

Προέκρινας τῶν φθαρτῶν τὰ μένοντα, καὶ ἐχώρησας πρὸς θεῖον ἀγῶνα, καὶ πρὸς Θεοῦ, χάριν ἔσχες τοῦ λύειν, τῶν φθονερῶν τὰς μαγείας πανεύφημε, καὶ σώζειν πάντας ἐξ αὐτῶν, τοὺς τὴν σὴν ἐκζητοῦντας βοήθειαν.

Θεοτοκίον
Γαλήνιον ἐν δεινοῖς καὶ ἄμισθον σὲ γινώσκοντες λιμένα Παρθένε, ἐν πειρασμοῖς πρὸς τὴν σὴν εὐσπλαγχνίαν, γλυκεία Μῆτερ, προστρέχομεν κράζοντες· Σοῖς δούλοις βράβευσον ἡμῖν, τὴν θερμήν σου Παρθένε βοήθειαν.

Ἐπίβλεψον καὶ τοὺς σοὺς δούλους ἐκλύτρωσαι πάσης βλάβης, καὶ ἐχθρῶν τῆς ἐπιβουλῆς, Ξενία, διάσωσον, ὡς ἔχουσα πρὸς Θεὸν παῤῥησίαν.

Ἀνύμφευτε, τῇ μητρικῇ σου πρεσβείᾳ χρωμένη ῥῦσαι, τῶν συμφορῶν καὶ κινδύνων καὶ θλίψεων, τοὺς Σὲ ὡς Μητέρα Θεοῦ τιμῶντας.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.
Τῶν θαυμάτων ὥσπερ εἰς πηγὴν ἀεὶ ῥέουσαν, τῇ σῇ σκέπῃ, Μάρτυς, εὐλαβῶς

νῦν προσφεύγομεν, καὶ βοῶμεν ἱκετικῶς δεόμενοι Σεμνή, δεινῶν λύτρωσαι Θαυματουργέ, ταῖς σαῖς πρὸς Κύριον λιταῖς, προσβολῶν τε τοῦ δαίμονος, πάσης ἐπαοιδίας, Ξενία, καὶ μαγγανείας, τῆς καθ' ἡμῶν τῶν φθονερῶν, κινουμένης διαφύλαξον.

Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Μάρκον (ε΄ 24-34).
Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι. καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· τίς μου ἥψατο τῶν ἱματίων; καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις τίς μου ἥψατο; καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. ὁ δὲ εἶπεν αὐτῇ· θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Δόξα.
Ταῖς τῆς Ἀθληφόρου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στ.: Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Πόθῳ καταφεύγοντες τῇ ἱερᾷ σου Εἰκόνι, καὶ κατασπαζόμενοι, εὐλαβῶς αὐτήν, σοὶ πιστῶς κραυγάζομεν. Νοητῶν λύτρωσαι τῶν ἐχθρῶν μανίας ὁρατῶν τ' ἐπιβουλῆς ἡμᾶς, τὴν χάριν ἔχεις γὰρ, ἐκ Θεοῦ Ξενία πανεύφημε. Καὶ πᾶσαν

νόσον ἴασαι, τῆς ψυχῆς καὶ πάθος τοῦ σώματος, καὶ μαγείας, Μάρτυς, προφύλαττε σοὺς δούλους καὶ Χριστόν, σὺν τῇ Μητρὶ καθικέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...
Εἶτα, ἀποπληροῦμεν τὰς λοιπὰς ᾠδὰς τοῦ Κανόνος.

ὨΙδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Τῶν ἰάσεων χάριν, πρὸς Χριστοῦ εἰληφυῖα τῶν δοθιήνων ἡμᾶς, καὶ τῶν ἐξανθημάτων, πληγῶν ἑλκῶν φλυκτίδων, τοὺς βοῶντας ἀπάλλαξον· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σὲ προστάτιν Ξενία, ἱκετεύομεν ἔχειν καὶ τῶν παιδίων ἡμῶν, λυτροῦσαν ἐκ κινδύνων, ἡμᾶς καὶ ταῦτα Μάρτυς, ἵνα μέλπωμεν κράζοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τοὺς κατέχοντας πόθῳ, τὴν σεπτήν σου Εἰκόνα, καὶ ἐν δεινοῖς πρὸς αὐτήν, προστρέχοντας Θεόφρον, ἐκ τούτων ῥῦσαι Μάρτυς, ἵνα πίστει κραυγάζωμεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον
Ἱκετῶν σου δεήσεις, τῷ Υἱῷ σου προσάγαγε, Θεοτόκε Ἁγνή, καὶ ῥῦσαι καταδίκης, πυρός τε τοῦ ἀσβέστου, ἵνα μέλπωμεν ψάλλοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

ὨΙδὴ η΄. Τὸν Βασιλέα.
Τοὺς σὲ ὑμνοῦντας, ᾳσματικῶς καὶ τῇ σκέπῃ, τῇ σεπτῇ σου δραμόντας Ξενία, νόσων τῆς καρδίας περίσωζε καὶ νεύρων.

Ἐπιληψίας καὶ βασκανίας σοὺς δούλους, ἐκ φυμάτων ἑλκῶν καὶ φλυκτίδων, καὶ ἐξανθημάτων, ἀπάλλαξον λιταῖς σου.

Τῶν σῶν τυράννων τὰς ἀπειλὰς παριδοῦσα, ἐν χαρᾷ πρὸς τὸν πλάστην ἀνῆλθες, ὅνπερ ἐκδυσώπει ὑπὲρ τῶν σὲ τιμώντων.

Θεοτοκίον
Ὅλην μου Μῆτερ, ἐν σοὶ πιστῶς τὴν ἐλπίδα, νῦν ὁ σὸς ἀνατίθημι δοῦλος. Λάβε με, βοῶν σοι, εἰς χεῖράς σου Παρθένε.

ὨΙδὴ θ΄. Κυρίως Θεοτόκον.

Ὠδαῖς τὸν σὲ τιμῶντα, φρούρει ἐν τῷ βίῳ τῆς δ’ αἰωνίου συμμέτοχον δεῖξον ζωῆς, ταῖς πρὸς Θεὸν σαῖς πρεσβείαις, Ξενία πάνσεμνε.

Τοὺς σοὶ πιστῶς δραμόντας, φύλαττε τῶν νόσων, παντὸς συμπτώματος, Μάρτυς Ξενία ἡμᾶς, καὶ πάσης ἄλλης ἀνάγκης ταῖς σαῖς δεήσεσιν.

Εἰκόνα σου ἐν πίστει τοὺς ἀσπαζομένους, Θαυματουργὲ καὶ κατέχοντας ῥῦσαι δεινῶν, καρδίας νόσων καὶ νεύρων ταῖς σαῖς ἐντεύξεσι.

Θεοτοκίον
Ὑμνοῦμέν σε, Παρθένε, ὅτι ἐν κοιλίᾳ ἡμῶν τὸν Κτίστην ἐχώρησας, Μῆτερ τῇ σῇ· αὐτὸν δυσώπει ἀπαύστως ὑπὲρ τῶν δούλων σου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, ἐν ᾠδαῖς ὑμνεῖν σε Ἀθληφόρε, Καλαμῶν τὸ κλέος καὶ τοῦ Χριστοῦ, τὴν πάνσεμνον Νύμφην· τῶν ἐν νόσοις τὴν ἰατρόν, τῶν παίδων προστάτιν, καὶ τῶν κινδυνευόντων, Ξενία Καλλιμάρτυς τὸ καταφύγιον.

καὶ τὰ παρόντα Μεγαλυνάρια.
Χαίροις, τῶν καλούντων σε βοηθός, καὶ παραμυθία θλιβομένων ἡ ταχινή, χαίροις, καθαιρέτις παντὸς μαγείας εἴδους, καὶ νοσοῦντα παιδία, Ξενία φύλαττε.

Θλιβομένων, πάνσεμνε, καρδιῶν, ἡ ἀφαιρεθεῖσα τὴν καρδίαν σου ἀπηνῶς, ὑπὸ τοῦ τυράννου γλυκεία ἀνεδείχθης, παραμυθία Μάρτυς, τῶν προστρεχόντων σοι.

Ἀθληφόρων χαίροις ἡ καλλονή, καὶ τῆς βασκανίας τὸ ἀντίδοτον ἐκ Θεοῦ, χαίροις, τῆς μαγείας φθονερῶν καθαιρέτις. Χριστὸν δυσώπει, Μάρτυς, ὑπὲρ τῶν δούλων σου.

Τοὺς ἀσπαζομένους πανευλαβῶς, Μάρτυς στεφηφόρε, τὴν Εἰκόνα σου τὴν σεπτήν, νόσων τῆς καρδίας καὶ νεύρων ταῖς λιταῖς σου, καὶ σεληνιασμοῦ τε, Ξενία, φύλαξον.

Χάριν θείαν εἴληφας ἐκ Θεοῦ, σώζειν, ὦ Ξενία, τοὺς καλοῦντάς σε εὐλαβῶς, ἐκ τῶν δοθιήνων καὶ τῶν ἐξανθημάτων, μυρμηκιῶν τε, Μάρτυς, ταῖς σαῖς δεήσεσι.

Πονηρῶν πνευμάτων ἐπιβουλῆς, καὶ τῆς βλάβης τούτων διαφύλαττε τοὺς πιστῶς, τῇ σεπτῇ σου σκέπῃ, καὶ ἱερᾷ Εἰκόνι προστρέχοντας λιταῖς σου, Ξενία πάνσεμνε.

Θεοτοκίον
Χαῖρε Μῆτερ Δέσποινα τῆς ζωῆς, χαῖρε ἡ προστάτις, τῶν τιμώντων σε καὶ φρουρός, χαῖρε ἡ ἐλπίς μου, ἡ δόξα καὶ ἰσχύς μου μετὰ Θεὸν ἡ μόνη σὺ μου βοήθεια.

Πᾶσαι των Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων η δωδεκάς, οι Ἅγιοι Πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί

λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Καὶ τὸ Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Βαφαῖς τῶν αἱμάτων σου, φαιδρὰν στολὴν σεαυτῇ, Ξενία, ἐπέχρωσας παρισταμένη Χριστῷ, ὡς νύμφη πανάσπιλος· εἴληφας δὲ τὴν χάριν, μαγγανείας τοῦ λύειν, δαίμονας ἐκδιώκειν, καὶ τὰς νόσους καρδίας ἰάσθαι. Ἱκέτευε ἐκτενῶς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν τὸ ἑξῆς.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντας τοὺς προστρέχοντας πιστῶς, τῇ σεπτῇ σου σκέπῃ Ξενία, τῶν ἀοράτων ἐχθρῶν, καὶ τῶν ὁρατῶν ἡμᾶς θεόφρον φύλαξον, φθονερῶν τε ἀφάνισον, πᾶσαν μαγγανείαν, καὶ δεινῶν ἀπάλλαξον, καὶ νόσων λύτρωσαι καὶ τὸν ἀθλοθέτην Σωτῆρα, σὺν τῇ Θεοτόκῳ δυσώπει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν πολύαθλε.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.
Ἀμήν.

[mvc_infobox title_color=”#ffffff” info_title=”Απολυτίκιον:” css=”.vc_custom_1677439437342{background-color: #23917c !important;}”]

[/mvc_infobox]Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός μου, ὁ ῥυσάμενος με ἐκ χειρός τοῦ ἀποστάτου Δομετιανοῦ.

Ὁ ἐπαμβλυνας πάσας τάς κατέμου ἐπινοίας καί μηχανάς αὐτοῦ. Ὁ τῇ ἀηττήτῳ δυνάμει τοῦ Σταύρου Σου κατασφαλίσας με καί σώαν ἐκ τοῦ διασυρμοῦ τῶν ἱππῶν διαφυλάξας.
Ὁ παρασχών μοι τήν ἰσχύν καταβαλεῖν τόν πολυμήχανον ἐχθρόν ἐν τῷ σκάμματι τοῦ μαρτυρίου.
Αὐτός καί νῦν, Δέσποτα, λύτρωσαι τήν μιανθεῖσαν ταῖς βιοτικαῖς ἡδοναῖς ψυχήν μου ἐκ τοῦ βυθοῦ τῆς ἀπωλείας, ἐν τῷ ἀπέρχεσθαι με ἐκ τοῦ φθαρτοῦ τούτου κοσμου,και διά τῆς μετανοίας καθαράν παραστῆσον πρό τοῦ ἀδεκάστου καί φρικτοῦ βήματος σου.
Δός δόξαν τῷ ὀνόματι Σου καί ἐνισχῦσον με ἐῷς τέλους κατισχύσαι τῶν ὁρατῶν καί ἀοράτων ἐχθρῶν μου.
Παντί δε τῷ ἐπικαλουμένῳ Σε μετά πίστεως ,δι'` ἐμοῦ τῆς δούλης Σου Ξενίας ἡ τήν ἡμέραν τῆς πρός Σε τόν ἀθάνατον καί μόνον ἀληθινόν Θεόν ἐκδημίας μου μεμνημένῳ καί ταύτην ἑορτάζοντι ἡ τήν ἐμήν εἰκόνα κατέχοντι καί ταύτῃ πιστῶς προσπελάζοντι, ἡ τήν δέησιν μου ταύτην αναγινωσκοντι καί τό μαρτύριον μου μελετῶντι βοήθειαν ἐν παντί καί ψυχικήν σωτηρίαν. Καί ὡς ἔλυσας Κύριε, πᾶσαν κατέμου τοῦ ἀπεχθοῦς τυραννοῦ μου μαγείαν καί ἐπαοιδίαν καί ἀνωτέραν τῆς ἐπηρείας αὐτῶν ἐτήρησας με, οὕτως ἀφάνισον τῇ ἀνυπερβλήτῳ καί κραταιά δυνάμει σου, καί ἐκ τοῦ δούλου (δεινός), τοῦ αἰτοῦντος βοήθειαν παρά Σου, διέμου τῆς ταπεινῆς Σου δούλης, πᾶσαν γοητείαν ἡ μαγγανείαν, πᾶσα φαρμακείαν ἡ ἐπαοιδίαν καί πᾶσαν βασκανίαν ἡ ἀστρομαντείαν, ἐν παντί ἀντικειμένῳ ἡ τόπῳ ἀνήκοντι αὐτῷ γενομένην, ἐν τῷ αἰθέρι, ἐν τῇ γῇ καί ὑποκάτω τῆς γῆς, ἐν τῷ ἀέρι, ἐν τοῖς γλυκέσιν ὕδασι τῶν λιμνῶν καί ποταμῶν καί τῶν φρεάτων καί τοῖς ἁλμήεσι τῶν θαλασσῶν.
Καί ὀν τρόπον ἐκρύπτει ὁ ἄνεμος χνοῦν ἀπό προσοπου τῆς γῆς, οὕτω διασκορπισθήτωσαν καί ἀφανισθήτωσαν καί λυθήτωσαν ὑπό τοῦ μισοκάλου δαίμονος ἔνθα κεῖνται καί ᾧτινι τρόπῳ ἡ σημειῶ ἡ ὀργανῶ ἡ ὕλη ποιηθέντα καί ἐν οιωνδητινι ἀριθμῶ μετρηθέντα καί ᾧτινι τῶν ἀστερισμῶν κατονομασθέντα ἐν νυκτί, ἡ ἐν ἡμέρα, ἐν τῷ φωτί ἡ ἐν τῷ σκότει.
Ἀπαλλάξον δε πάσης τῆς ἐξ` αὐτῶν ἐπηρείας τόν πρός Σε τόν φιλάνθρωπον καί εὔσπλαγχνον Θεόν καταφυγόντα πιστόν δοῦλον σου (δεινά) καί τήν ταπεινήν σου Μάρτυρα Ξενίαν εἰς πρεσβείαν προσάγοντα, παντός ψυχικοῦ καί σωματικοῦ

δεσμοῦ ἡ ἀσθενείας ἡ γοητείας ἡ μαγγανείας ἡ ἀστρολογίας ἡ νεκρομαντείας ἡ ἐπαοιδίας καί βλαβῆς τοῦ πονηροῦ δι᾽ ἔργου ἡ διά λόγου ἡ διά δαιμόνων ἡ δι᾽ ἀνθρώπων ἐνεργηθείσης.
Τηρῆσον αὐτόν φυλάττοντα τάς ἐντολάς σου καί ἀβλαβῆ πάσης τῶν πονηρῶν πνευματῶν κακώσεως, καί ἀξιῶσον γενέσθαι μέτοχον τῶν αἰωνίων Σου ἀγαθῶν, ὅτι εὐλογητός εἰ εἰς τούς αἰῶνας.
Ἀμήν.

ΕΥΧΗ ΑΓΙΑΣ ΞΕΝΙΑΣ ΚΑΤΑ ΤΗΣ ΜΑΓΕΙΑΣ

Μνήσθητι Κύριε τῶν επικαλουμένων δούλων Σου (τάδε) δια τὴς Αγίας σοὺ Ξενίας τὴς εκ Καλαμῶν, τῶν καὶ τὸ μαρτύριον τὴς Αγΐας σου Ξενίας ενθυμουμένων και δώρισε τοῖς δούλοις Σου (τάδε) βοήθειαν, (σωματικῆ υγεῖα, ψυχικὴ σωτηρία, κλπ.) Ὅπως δὲ διέλυσας τας κατά τὴς Αγΐας σου Ξενίας, μαγείας τοῦ ἀσεβοῦς Ἐπάρχου, οὕτως Δέσποτα Κύριε, εξαφάνισον καὶ ἐκ τῶν δούλων σοῦ (τάδε) πάσες γοητείες, ἡ μαγγανείες, πάσες φαρμακείες, πάσαν αστρομαντεῖαν, ἡ σεληνομαντείαν, πάσαν μαγείαν, πάσαν βασκανίαν, γενομένη εις οιονδήποτε τόπον, εις παν ἔμψυχον ἡ ἄψυχον, εἰς τον, αέραν, ἢ εἴς τὴν γὴν, ἡ υποκάτο του εδάφους, ἡ εἴς τα ὑδατα τῶν ποταμῶν, τῶν λιμνῶν, ἢ τῶν φρεατὼν, ἢ τῶν θαλασσῶν. Και ὁπως ὁ ἄνεμος παρασύρει τὸ χώμα από τὸ πρόσωπον τὴς γῆς, κατά τὸν ίδιον. τρόπον ας λυθοῦν τὰ ἔργα τῆς μαγείας καὶ κάθε ἀλλὴς δαιμονυκὴς συνεργείας, καὶ ας ἀπομακρυνθοὺν από τοὺς δούλους Σου (τάδε) μίλια, 65 εξήντα πέντε. Ἢ ὅπου καὶ αν βρίσκονται τὰ τὴς μαγείας ἐργα καὶ με ὁποιονδήποτε σημείον, ἡ ὁργανον, ἡ ὑλὴν εἰναι κατασκενασμένα, ἡ με οπιονδήποτε ἀριθμὸν ηριθμήσθησαν, ἡ ἀστερισμὸν κατ᾽ ὀνομάσθησαν. Και εἰτε ημέρα, εἶτε νύκτα, ἡ εἴς το φως, ἡ εἴς το σκότος, εμνημονεύθησαν τὰ τὴς μαγείας ἐργα τα τῶν πονηρῶν καὶ φθονερών, ἀθρώπων, ας διαλυθοῦν, ας εξαφανισθοῦν από τοὺς δούλους (τάδε) καὶ ἀς επιστραφοῦν εν τῶ ὀνοματί Σου το Αγΐω Κύριε, εἴς αὐτοὺς που τὰ ἐμελέτησαν, ἡ ἀπέστειλαν ἡ ἐποίησαν, αὐτὴν ταύτην τὴν στιγμήν (Αμὴν), για να δοξασθὴ τὸ Πανάγιον Ὀνομὰ Σου τοῦ Πατρὸς καὶ του Υἱοῦ καὶ τὸυ Ἁγίου Πνεύματος, τὴς Μητέρας Πλατυτέρας τῶν ουρανῶν καὶ τὴς Αγΐας Σὸυ Ξενίας τὴς ἐκ Καλαμών. Ἀμὴν.